19.

# בהנו״א בא״י ש״ת

## ΔΙΑΤΡΙΒῊ ἡ ΦΙΛΟΛΟΓΙΚῊ,

περὶ τῆς Ἐτυμότητος, Ὀρθοεπείας καὶ Ἐμφάσεως
τοῦ

# שילה

Γενέσ. ΔΔΔΔΠΙΙΙΙ. ι.

Ἣν,
Ψηφιζομένου λαμπροτάτου τοῦ Συγκλήτου, ἀγασιωτάτης
καὶ Βασιλικῆς Ἀκαδημείας τῆς ἐν Ἀβώᾳ·

ΚΑΤΕΥΘΥ΄ΝΟΝΤΟΣ

## Κυρ. ΣΙ΄ΜΩΝΟΣ τοῦ ΠΑΥΛΙ΄ΝΟΥ,

Τῶν Ἑβραϊκῶν καὶ Ἑλληνικῶν γραμμάτων Καθηγητοῦ
ἐπιδεξιωτάτου καὶ παιδευτοῦ μου τοῦ ἀξιοπίστου,
διὰ παντὸς θεραπευθησομένου·
Ἐλευθέρας τῆς ἀσκήσεως ἕνεκα,
Τῇ τῶν εἰλικρινῶν τῶν Φιλεβραίων καὶ Φιλελλήνων
δοκιμασίᾳ σωφρόνως παρίστησι

ΓΕΩΡΓΙΟΣ ἈΙΝΗ΄ΛΙΟΣ,

Ἐν Ἀκροατηρίῳ τῷ μεγίστῳ, τῇ Βοηδρομιῶνος ἐπὶ δέκα η.
Ἔτει Χ 𐅅Η 𐅄ΔΔΔ ΠΙΙΙ.

№ 22

Τετυπωμένη ἀπὸ ἸΩΑ΄ΝΝΟΥ τοῦ ὈΥΑΛΛΙ΄ΟΥ,
τῆς Ἀκαδημίας Τυπογρ.

Åbo 1688. Pr. Simon Paulinus.
Resp. Georg Aenelius.

Τῷ τῶν Σβηκῶν Μεγαλειότητος

Τῆς εὐαγεστάτης καὶ βασιλικῆς

ΒΟΥΛΑΙΩ·

Συνεδρίου τῆς εὐδικίας ἐν Μητροπόλει τῇ Ὀλμίᾳ

ΠΡΟΣΤΑΤῌ ὑπερσεμνοτάτῳ·

Ἀκαδημίας ἐν Ἀβόᾳ τῆς περικλυτῆς καὶ διασήμου,

ΘΕΣΜΟΘΕΤῌ ἐλευθεροπρεπεστάτῳ·

ἐξοχωτάτῳ, Κυδίστῳ καὶ περιφανεστάτῳ τῷ Κυρίῳ,

ΚΥΡΙΩ

# ΓΟΣΤΑΟΥΩ ἈΔΟΛΦΩ

## ΔΕ-ΛΑ-ΓΑΡΔΙΗ·

ΚΟΜΗ τῆς Leckôô / Arensborg καὶ Pernau; Δυνάστορι ἐν Eekholm; Κυρίῳ ἐν Hapsaal / Magnushoff / Höhentorp/ Wännegarn, κτλ. κτλ.

KANSALLIS-KIRJASTO

Ἐξάρχῳ μου τῷ πραοτάτῳ καὶ ἐπικρατεστάτῳ εὔχομαι

Γῆρας Ὄλβιον καὶ Ἀΐδιον.

## ὙΠΕΡΛΑΜΠΡΟΤΑΤΕ ΚΌΜΗ, ΚΎΡΙΕ ΠΑΝΊΛΛΕ.

Εἰς μέγα μὲν προέχων ἀρετῇ, παιδεῖα περὶ τ' ἠδ'
Εὐκλείας ἄινη Σ' εὐγενέες γε κλέος,
Ἐκπλήττει ὀλίγον τὰ ἔσω, οὗ προσθέμενον αἰδοῦ
Εὐλαβείας προκρίτου ἤθεος, ἐνθάδε μου·
Ὥστε μόγις τὸ παρὸν γνώμης γύμνασμα
ἐλαφρὸν
Ἀξιόω Κυρίου στῆσαι ἔναντι τόσου.
Τὴν πραΰτητα γέ μὲν μεγαλεῖαν σου μεγαλόφρον
Κυπτὸς προσβλέψω θαρσαλέως ὁπόταν,
Ἐλπίδ' ἐπαιρόμενος κομιδῇ ἀναψύχομαι αὖθις,
Καὶ πιθανοῖς πλείστοις πείθομαι ἐξόμενθεν·
Πρός τε τὸ τῆς ταύτης σκεύασμα τριβῆς ἀποφαίνειν,
Ἔμπροσθεν χρηστῶν δὴ βραδύτητος ἄνευ·
Καὶ πρὸς τ' οἰκείου ΓΟΣΤΑΎΩ αὐτὸ ἈΔΌΛΦΩ
Τῷ ΔΕΛΑΓΑΡΔΊΗ κλειτοπάτῳ ἐφέρων.
Εἰ δ' ἄγε πιστότατον διὰ τοῦτον Προστάτα ψῆφον
Εὔσπλαγχνος τολμῶ ἔκθεσιν ἐκδιδόναι
Τὴν μεταφρασθεῖσαν, τὸ Φιλελλήνων καθ' εἰωθὸς,
Τοῦ παραδειχθέντος τ', ἐκ παλαιοῦ, λογίου·

σοῦ

Σοῦ γε συνηγορίᾳ ὡς προστατικῇ ἐπιτρέψαι
Τὴν αὐτὴν, σκωπτῶν πρὸς κακίας ἐχυρῶς·
Οὕτως, ὥσπερ ἔφην, τολμῆσαι οὐ θέμις δεῖ
Μέντοι συγγνωστὸν προσδοκάω ἀπηνῆς·
Πᾶσα γὰρ ἰθαγενὴς, ἄδολός τ' εὐψυχία μίκρον
Οὐκ ἐξουδενόει, τῇ ὑπερηφανίᾳ.
Νὴ Δία τοιαύτη παρ᾽ ἅπαν μακροθύμια ἥρως,
Καί ΣΟΙ 'σφραγίσθη ἐκ γενεᾶς θεόθεν,
Ἢ πάνυ εὐδοκίμοις, ἠδ' ἀνδραγαθήμασι ἑξῆς,
Καὶ ἐστηρίχθη τοῖσι τε φιλευποιΐαις.
Ἡμέραν ἀλλά γε δὴ καθ' ἑκάστην νῦν στερεοῦται
Εὐφήμοις σπουδαῖς, εὐμενείᾳ κ' ἐλέῳ·
Τοὺς τε προθλιφθέντας ὅταν εὐχαρίτως περιποιῇς
Καὶ τοῖς ὠφελέης δυστυχοῦσιν ὁμοῦ·
Τοὺς τ' ἱκετευόντας ὅτ' ἐλευθερίως κατακούῃς
Εὐνοέης αὖτις εὔμαλα κἂν ταχέως.
Ταῦτα δὲ, φημὶ, ὅλως καταπείθει προσκυνέειν με
Τῷ ΔΕΛΑΓΑΡΔΙΉ τῷ μεγαλαμπροτάτῳ.
Εὐνοίαν γάρ τοι καὶ ἐμοὶ διασημότατ' ἀνδρῶν
Σχὲς κατὰ εὐθεῖαν, τὴν σφόδρα αἰδέσιμον,
Αὐτ', ἃ προστήκει μοι, περὶ σπουδάζ' εἰς τὸ μέγιστον,
Τὰς εὐημερίας εὐχόμενος συνεχῶς·
Τὸν ΔΕΛΑΓΑΡΔΙΉ, ΔΕΛΑΓΑΡΔΙΑΔΩΝ τε ἔπειτα
Τοὺς μάλα εὐγενέας, εὐσεβίας τ' ὁσίους
Εὐτυχέειν φαιδρῶς, ἐπὶ μήκιστον περιεῖναι,
Ἐκφαίνεσθαι αἰεὶ, εὐδοκιμεῖσθαι ἅμα!!!

ὙΠΕΡΟΧΗ͂Σ ΣΟΥ ΤΗ͂Σ ΜΕΓΑΛΟΠΡΕΠΕΣΤΆΤΗΣ

ταπεινότατος
θεραπευτὴς
Γεώργιος Αἰνήλιος

Εἰς Διατριβὴν Ἀκαδημικὴν, ἑλληνικήν τε καὶ ἱεροπρεπῆ, ἀνδρὸς μὲν πολυΐστορος, καὶ κλυτοῦ τῶν ἐλευθερίων τεχνῶν ἐπιστάτου,

ΓΕΩΡΓΙΟΥ ἈΙΝΗΛΙΟΥ,

ἐν τῷ Φροντιστηρίῳ τῶν Ὀυαζέων ὑποδιδασκάλου σπουδαιοτάτου, περὶ τοῦ ὀνόματος ΣΙΛΩ ἀκριβῶς καὶ κομψῶς συγγεγραμμένην, καὶ δημοσίᾳ τῶν φιλεβραίων τε καὶ φιλελλήνων συζητήσει ἐν ἑλληνίδι διαλέκτῳ παρεσταμένην, Ἐπίγραμμα.

Ρῆμα μὲν οὐδὲ βροτῶν ζαθέων, καὶ αὐτὸ παλαιὸν
Χριστὸν εἰ εὖ οἶδας, φρονέεις, εἰ κ' ἄλλα μὴ οἶδας,
Χριστὸν εἰ οὐκ οἶδας, μαίνῃ, εἰ κ' ἄλλα σὺ οἶδας.
Πᾶς γὰρ ἔχων δυνατοῦ ζωαρκὲς ῥῆμα Θεοῖο,
Οὗτος ἔχει αὐτοῦ θ' υἱὸν τὸν παμμεδέοντα,
Τὸν δωτῆρα ἀγαθῶν, δώρων τιμήεντε ἁπάντων.
Τοῦτο σκοπεῖς, μουσῶν Αἰνήλιε φίλτατ' ἑταῖρε
Τοὔνομα ἐκφράζων χριστοῦ, σωτῆρος ἀγλαοῦ
Πάντων ἀνθρώπων, ὧν αὐτὸς πρόσλαβε σάρκα,
Πλάσματος ἀνθ' ἡμῶν πάσχων, ἔτι καὶ ἀποθνήσκων.
Ὅστις ἐπαγγελθεὶς ἐλεεινοῖς ἐν παραδείσῳ,
Εἶτα θεοπνεύστοις ΣΙΛΩ ἀνδράσιν ἐκλήθη.
Τοὔνεκ' ἀκώλυτον ἔργον ἄγεις, ὅτι οὔνομα τοῦτο
Παμμελέως τ' ὀρθῶς τ' ἀνετάζεις, πάντα ἐρευνῶν
Τῆς περὶ τοῦ ΣΙΛΩ στερεώματα ὀρθοεπείας,
Πολλάκις ἐνδείξας ἑλληνικά θ' ὅττ' ἐμάθησας,
Ἐσσὶ καὶ ἔνθα σοφὸς δυνατός τε λαλεῖν φιλεβραῖος.
Ναὶ Θεὸν ὅστις ἔχει πάντων τὸν ἀμείνονα κτῆσιν,
Οὗτος ἐν εὐτυχίῃ τὸν ΣΙΛΩ καὶ ἀγαπήσει.

Φίλῳ γνησιωτάτῳ φιλίας ἕνεκεν ἔγραψε

PETRUS LAURBECCHIUS,

S.S. Theol. Prof. Ord.

Εἰς τὴν τῆς ἐντελεχείας, σωφροσύνης καὶ ἀκριβείας ἐξαιρέτης Διατριβὴν ἑλληνιστὶ Ἑβραϊκήν, περὶ τῆς τοῦ שִׁילֹה ὀρθοεπείας καὶ ἐμφάσεως, τοῦ τῆς ἐν Φιλοσοφίᾳ τιμῆς νομίμως τυχόντος, Σεβασμίου Κυρίου,

ΓΕΩΡΓΙΟΥ τοῦ ΑΙΝΗΛΙΟΥ,

Παιδευτηρίου τῶν Ουασένσεων παιδοδιδασκάλου ἐπιδεξιωτάτου, φίλου μου λίαν ἀγαπητοῦ καὶ ἐντίμου

## ΣΥΓΧΑΡΜΑ·

Θεῦ! ἔρεβός τε ζόφος, ὢ ἀγρι! ἴσον μὲν ὅσον τε
Γράμμασι τῶν ἱερῶν τε γραφαῖς ὄντως θεοπνεύστοις,
Ἀσφαλείας δίχα, Ἑλλάδος, Ἑβραίων, Διαλέκτου!
Τοὔνομά τ' ἡμετέρου ἸΗΣΟΥ שִׁילֹה, περιβιβάζει·

Ἄρχοντ' εἰρήνης ἡμῖν שִׁילֹה ἀποφαίνει,
Ἔστι Παρακλήτωρ, Σωτὴρ καὶ Καρδιογνώστης.
Εὐφροσύνη τε χάρις, νίκη, τοῖς πνεύματι πτωχοῖς.
Ὦ שִׁילֹה ἡμῶν! ἴθι, ΓΟΣΤΑΟΥΩι ἈΔΟΛΦΩι
Τῷ ΔΕΛΑΓΑΡΔΙΗ, ἀεὶ Οἰκοφύλαξ, Ἐχύρωμα
Ἀκρόπολις, Σωτὴρ, Σοφία, Βούλευμα, Βίος τε,
Εἰς μὲν Ἀθηνῶν τῆς Φινλανδίας ἄκραν, ἐρείσμα·
Ὥστ' Ἀρετάς, Μούσας, Γλώττων πύλας ἐναγεῖς τε
Μᾶλλον ἀεὶ ἐν γῇ Βορρᾶ, ἐν τῇ τε Ἀβώᾳ
Ἀκμάζειν ἀδεῶς καὶ αὐξήσειν ταχέως δή.

αὐτοσχεδίως

ΣΙΜΩΝ ὁ ΠΑΟΥΛΙΝΟΣ.

# ΠΡΟΟΙ'ΜΙΟΝ.

Ὅσον ἂν δύσπειστον εἶναι ἀνθρώπων τὴν παραφροσύνην, ἐν τῷ γνωρίζειν τὰ διὰ τῶν θεοφερομένων ἀνακαλυφθέντα, ἐγκαλεῖ ἐνδίκως, πάντη, φεῦ! πέρα τοῦ δέοντος, διεστραμμένη ἁγία γραφή. Ταύτης εἰκῇ παλιάγχη πλεῖστα παραγγελμάτων ἐμπλησθείη, χαριέντων τε καὶ ἀπειλητικῶν, ὅσον γε αὐτίκα ἀνυπερθέτως ἀποπλησθήσοιτο· ἦσαν δὲ μέντοι, ἐν ἅπαντι αὐθάδεες, καὶ καθ' ἑκάστην ἡμέραν τελέθονται πλείονες, τὸ γνωστὸν τοῦ θεοῦ τά τε κατὰ θεῖον φανερὰ σπουδάζοντες ὑποκρύβειν. Τούτων τῶν Σκολιῶν πλάνας καθάπερ καὶ δυσχερῶς γίνοιτο καταλέγεσθαι, οὕτως καὶ αὐτὰς διαλύσεως ἕνεκα παραφέρειν ἀδύνατον. Τοῦ δὲ εὐλαβῆναι τὰς τῶν παρερμηνειῶν στροφάς, μιᾶς μόνον, ἐν τῷ νυνὶ, παλαιᾶς τῆς Διαθήκης λέξεως ἔμφασιν, προεθυμήθην ἐνερευνᾶν. שִׁילֹה δήπουθεν, κεφαλαίου τοῦ λογίου ἀποθνήσκοντος Πατριάρχου Ἰακὼβ. χαλεπόν με ἐξομολογῶ ἐπιβληθῆναι ἔργον, ἐν ᾧ διέτριβον πλεῖστοι· πρὸς ὧν ἐξηκριβωμένας διαπονήσεις αὐτόσκευον τὸ παρὸν οὐχ οἷον μέν ἐστι κατὰ τὴν ἐξεργασίας ἐξοχὴν παραλληλίζειν ἄσκημα, ὑπισχνέομαι δὲ ὅμως κατ' ἀξίαν τῆς ἀτρεκείας τούτου μηδοτιοῦν ἡττᾶσθαι ἑαυτῶν. ἐφ' ᾗ παρὰ πᾶσαν πεποιθώς, ἐπιείκειαν τῶν εὐγνωμόνων παραιτεῖσθαι τολμῶ· ἔρρωσθε!

# ΠΡΟΒΛΗΜΑ ΠΡΟΤΕΡΟΝ

Ὀνοματοποιΐαν λέξεως שִׁילֹה τὴν ἑτεροσχήμονα, κατὰ διάνοιαν ἐξηγητῶν παρεστὰν τῶν παμπόλλων.

§. I.

Ὠφέλιμος ὡς οἷόν τε μάλιστα παραίνησις τοῖς πραγματευομένοις ἐδόθη πάλαι· χρὴ, δηλαδὴ, τὴν μεταχείρησιν θέματος γίνεσθαι ἐξ ἐπιζητήσεως τῆς ὀνομαστικῆς, ἵνα δηλῶται στοιχεῖα τὰ πρῶτα τῆς διατριβῆς. Ἐπιτηδεύματος οὖν τούτου καὶ διασήμου τῆς χρηστότητος ἕνεκα, ἣν δεῖ λαμβάνειν ἐν τῷ παρόντι, ἀνακρινέσθω καὶ ταύτης τῆς ἐξετάσεως ἐπιγραφὴ, κατὰ τὸ εἰωθὸς, ὀνοματώδει. Ἑρμηνεία δὲ ταύτης τῆς λέξεως, καθάπερ παμπόλλοις τῶν Ἰουδαίων καὶ τῶν Διδασκάλων αὐτῶν πολυσχεδῶς ἀναφαίνεται, οὕτως καὶ ἐκείνην ἑτεροτρόπων ἐκ γενεσίων προάγουσι.

§. II.

Ἐξηγητὴς ὁ δημοσιευθεὶς γὰρ μεταφράζει, ἀπεσταλμένος· ἀφ' ὅτου συλλέγεται, αὐτοὺς νομίσαι ταύτην τὴν λέξιν, ὑπαρχὴν ἑαυτῆς ἀναφέρειν εἰς τὸ שָׁלַח ἀπέσταλκε. ἥτις ἡ μετάφρασις ἀφορμὴν ἔδω τοῖς ἱερονόμοις ψευδοκαθολικοῖς, οὗτοι οἱ παρρησιαζόμενοι συμβιβάζουσιν, ἐκ παλαιοῦ μὲν γεγράφθαι שִׁילֹה.

ἀπὸ

ἀπὸ δὲ τῶν Ἰουδαίων τῇ ἀποδείξει τῇ σαφεῖ ἠλεγμένων, νόθῳ κακῷ μετηλλάχθαι שִׁילֹה. Ταυτί τε δοξάζει Εὐσέβιος ἅμα τῷ Ὀγκηλαίῳ, τῷ καὶ τὸν τρόπον ταύτης τῆς μεταβολῆς καὶ μεταφράσεως ἀναδεξαμένῳ, ὅπου γράφει· πρότερον μὴν ἦν שִׁילֹחַ ἀπεσταλμένος· ἀλλὰ δὲ οἱ Ἰουδαῖοι κατ' ἀλήθειαν οὐκ εἰς ἅπαξ, τοὔνομα τοῦ Χριστοῦ μετήλλαξαν· πρώτως γὰρ προσέθηκαν τὸ γράμμα י, καθεξῆς τὸ γράμμα ח, ἤλλαγον εἰς ה. ἐπειδήπερ ἂν δὲ τοῦτο δόξῃ αὐτοῖς ἐναντίον τῆς γραμματικῆς, αὖθις ἐροῦσι, ה (ὃ αὐτοὶ προσέθεσαν) ἵστασθαι ἀντὶ τοῦ ו, καὶ ταῦτα πάντα ποιοῦσιν ἐξ ὀνόματος τοῦ שִׁלֹה διαθήσεσθαι αὐτοὺς τοὔνομα τῆς πόλεως שִׁלוֹ, ἵνα ταύτην τὴν προφητείαν παραχαράσσωσι καὶ παραφέρωσιν, ἢ εἰς βασιλέα τὸν Δαβίδ, ἢ εἰς Ἱεροβοάμ, ἢ Ναβουχοδονόσορα.

§. III.

Προσέτι δὲ διερευνῶντες τοὺς τῶν ἑτέρων ψήφους, ἀνερχώμεθα πρὸς τοὺς παράγοντας ταύτην τὴν λέξιν ἀπὸ τοῦ ὀνόματος שַׁי, δῶρον, χάρισμα, καὶ τοῦ κομματίου לֹה πρὸ ש αὐτοῦ. Οὕτως μεθερμηνεύεσθαι ἐν τῷ Μιδράχ, μαρτυρεῖται Ῥαχὶ, διὰ τὸν τόπον τοῦ ψαλμοῦ ος. ιβ. יוֹבִילוּ שַׁי לַמּוֹרָא, οἴσουσι δῶρα τῷ φοβερῷ. πρὸς δὲ τὸ ταύτην τὴν διαβεβαίωσιν πιστώσασθαι, αὐτὸ τοῦ Ἠσαΐου κεφ. ιη. ζ. προχειρίζεται· ἐν τῷ καιρῷ ἐκείνῳ ἀνενεχθήσεται δῶρα Κυρίῳ Ζαβαώθ.

βαὼθ. ὅθεν νομίζουσι λέγεσθαι שִׁילֹה, ἐπεὶ ὁ προ-
φήτης ἀναμνησθείη ἐν αὐτῷ τῷ λογίῳ καὶ τοῦ θεοῦ καὶ τοῦ δώρου τοῦ
ἀπογεννηθησομένου, ὥσγε ἐν Κέζαρᾳ ἀναφαίνεται κατὰ τὸ μῆ οθ.

§.IIII.

Τίνες δὲ שִׁילֹה παράγουσιν ἀπὸ τοῦ שָׁלָה, ἡσύχασε, εὐθύνασε, ἐξηγήσασθαι αὐτό· ἡσύχιον, εἰρηνικὸν, εὐτυχῆ ἢ ἐνεργητικῶς εἰρηνοποιὸν καὶ σωτῆρα. ταύτην τὴν γνώμην ἀνέλαβον πλεῖστοι, καὶ τῶν θεολόγων καὶ τῶν φιλοσόφων, μετὰ δὲ ἐμὴ ἡμηδαπῶι. Ταύτην γε προαιρούμεθα ἡμεῖς τῶν ἄλλων προκρίνειν, ὥσπερ γνήσιον, τοσοῦτόν τι ἀπορρήμασι ὥστε αἱ λοιπαὶ οὐκ ἐμπεπλεγμένην ἀμφηρίστοις. διὸ περὶ τούτου ἐν τοῖς ἑξῆς πλείστοις· ἅ γε δὴ εἰθισμένως παραστανθήσεται.

§. II.

Πρότερον δὲ, ἐὰν ἐρευνήσωμεν τῶν προειρημένων σημειώσεις, γνωσόμεθα καὶ τὴν προειρημένην παράγεσθαι ἀπὸ שִׁיל βρέφος σὺν προστιθειμένῳ τῷ ה ἀντὶ ו. καὶ μεταφράζεσθαι υἱὸν αὐτοῦ, ὥσπερ καὶ ἐκ καταστάσεως γνωμῶν τῶν ἐχομένων ταύτης τῆς κεφαλῆς σαφηνίζεται, καθὼς עִירֹה ἀντὶ עִירוֹ Γεν. ιγ. γ. אָהֳלֹה ἀντὶ אָהֳלוֹ κτλ. τούτων ἕνεκα φημὶ περὶ τὸ שִׁיל ἐτυμολογοῦντες μεταφράζουσιν. ἕως ἔρχεται βρέφος υἱὸν αὐτοῦ, Ἰούδα δήπου, τοῦτ' ἔστι, κατ' ἐξοχὴν Μεσσίας.

ἐν ταῦ-

εἰς ταῦτα σπουδάζοντες, οὐκ αἰτίας ἄνευ, σχηματίζονται ἀχρεῖον θέμα שׁוּל, ὁπόθεν ἡ שֶׁיל, οἱονεὶ שָׁיר ἀπὸ τοῦ שׁוּר. Δεῖ γὰρ περὶ ἐμφάσεως τοῦ λόγου τούτου διαδικάζεσθαι ἐκ λέξεων τῶν ὁμογενέων, πρὸς τὸ ἀναιρεῖν δυσχερείας τὴν ἀντιλογιῶν, ὥσγε τὸ παλαιὸν ἐδίδαξε Κίμχι εἰπών· εἰθισμένον ἐστὶ τοῖς Ἑβραίοις παραπηθέναι λέξιν περὶ πράγματος μόνου, ἧς ἂν γράμματα συμφωνοῦνται τοῖς γράμμασι λέξεως τῆς ἑτέρας, ὧν ἑκατέρα ἐκείνην γνώμην ἐκτίθησιν, εἰκῇ τῇ τῶν γραμμάτων ἀναστροφῇ.

§. III.

Ἀπὸ δὲ τοῦ שׁוּל καὶ שֶׁיל πρὸς שְׁלֵה εἰς λόγον τοῦ κανόνος τέλει, καὶ τὰ ἐνθάδε παρηγμένα προσκαλοῦνται· ὅτι ἐπίστανται ἐτυμολογίας ταύτης τὴν αὐτὴν κατέχειν ἔμφασιν· ὅπου שִׁלְיָה παρηγμένον ἀπὸ τοῦ שְׁלֵה ἀκριβῶς ἐφαρμόττει τῷ שִׁילֹה· παρασκευάζουσί γε μὲν πλεῖστοι σὺν Ταλμοὺδ δηλοῦσί τε τοῦτο, χόριον, σακέλλιον· ἔστι, δηλονότι, ᾧ περιεβλήθη τὸ βρέφος ἐν γαστρὶ μητρικῇ, καίτοι μὲν ἄλλοις δοκῇ στοχαστικώτερον μεθερμηνεύειν, κοίημα νεωστὶ γεγενημένον, ἢ ἀρτίτοκιον· ὅτι καὶ ἐπεισφέρεσθαι τῇ συναφείᾳ ἐχομένων τῶν στίχων πεπεισμένοι αἱροῦνται· ἀπὸ τούτου οὖν שִׁלְיָה κατέρχεσθαι διισχυρίζουσι τὸ שֶׁיל ἀμέσως, ὅτε πρὸς αὐτὸν παραβληθὲν καταμηνύει ἐπιγονὴν καὶ βρεφύλλιον νεογενὲς ἢ ἀρτιγένεθλον, οὐ τοῦτο ἐκ χορίου ἐκπεπορευμένον.

## ΠΡΟΒΛΗΜΑ ΔΕΥΤΕΡΟΝ,

Ἀλλοτρίαν τῆς ἀληθείας ἑρμηνείαν ἀποσκευαζόμενον καὶ τὴν γνήσιον παρασκευάζον.

### §. I.

Ἐν προτέρῳ τοῦ προβλήματος, ὥσπερ ἡμῶν τὸ שילה ἐδηλώθη καὶ ἐτυμότητα ἐπιλίγδην, οὕτω καὶ ἐν τῷ παρόντι ταύτην τὴν λέξιν εἰς λόγον ἑρμηνείας ἐνθυμηθησόμεθα· εἰς οὖν τὰ πρῶτα ἐξετάζωμεν μετάφρασιν τὴν θρυλληθεῖσαν, ἧς μνείαν ἀπ' ἀρχῆς τῆς ἐπιζητήσεως ἐποιήσαμεν. Αὕτη ὥσπερ, ὡς ἀπεδείχθη, περὶ τὴν διασάφησιν ταύτης τῆς λέξεως, αὐτὴ διαψεύδεται τῆς ἀληθείας, οὕτως καὶ ἄλλους τῶν Ἱερονόμων τῶν ψευδοκαθολικῶν πλανᾷ, τοὺς αὐτῇ κατ' ἴχνος κατακολουθέντας, τοὺς δήπου προκάταρξιν, τὴν διὰ παντὸς παρὰ Ἱερονόμων ὁμολογουμένην ἀποδεξαμένους.

### §. II.

Πρώτως γὰρ ἐνθύμημα μεταλλάξεως τῇ ἀναλογίᾳ γραμματικῇ ἀντιλέγει. ἐν χρόνῳ ὅτι ἂν τῷ παρακειμένῳ οὐ שילה ἀλλὰ שילוח δεῖ λέγειν· ἔπειτα δὲ ἀρνούμεθα ταύτης τῆς προφητείας στρεβλότητα γεγενημένην παρὰ τῶν Ἰουδαίων. πάντα γὰρ (α) ἐξηγήματα τῶν Ταργουμὶμ τοῦτον τὸν τόπον δηλοῦσι περὶ τοῦ משיח· οὕτως ὁ ὈΓΚΕΛΟΣ, ἔτι δὲ ἸΩΝΑΘΑΝ καὶ ὁ Ἱεροσολυμιτικὸς σὺν τῇ ἐκθέσει τοῦ מלכא.

τινι ἐν τρόπῳ μεταλλάξωσι, διὰ παντὸς ἐναντιοῦσθαι ἑαυτοῖς βλέπωσι τοὺς Ταργουμιστάς. (β) ἐπὶ δὲ πλεῖστον ἀντιπίπτεται Ἰουδαίοις, τοῖς τῶν χριστομάχων, τοὔνομα שילה, ἢ שִׁילֹה· ἐν τούτῳ τῷ δευτέρῳ ἀσφαλέστερόν ἐστι χρηφύγετον αὐτοῖς, ἀνομολογουμένων καὶ τοῦ Προχέτου καὶ τοῦ Γαλατίνου, εἰσφέροντος Βιβλ. δ. κεφ. δ. Ἰουδαῖοι καθ' ἡμᾶς εὐρεῖαν ἔχουσι ὁδὸν τοῦ φεύγειν, ἀρνεῖσθαί τι τὴν ἀλήθειαν, ἐὰν λέγηται שִׁילוֹחַ ἀπεσταλμένος ἢ ἀπεσταλθησόμενος. εἴπερ ἄρα οὕτως ἐπὶ κοινῆς ἐκληθῆται, οὐκ ἴδιον ὄνομα τοῦ Μεσσίου ἀλλὰ πλείστοις κοινὸν ἀκούει· ἐκεῖνος· γὰρ οὐ μόνον ἀπεσταλθήσοιτο, γε μὲν δὲ καὶ οἱ προφῆται.

c

## §. III.

Ὑποφέρειν δὴ γοῦν δυνατὸν προφητείαν ταύτην οὐ προμαρτύρασθαι παρουσίαν τοῦ Μεσσίου, ἀλλὰ μὲν ἄλλου τινός, μάλιστα τοῦ Ναβουχοδονόσορος, βασιλέως τῆς Βαβυλῶνος, τοῦ ἀπεσταλθησομένου πρὸς τὸ κολάζειν αὐτῶν πατέρων τε ἁμαρτίας, ἀπολέσαι πόλιν Ἱερουσαλὴμ Ἱερόν τε καὶ αἰχμαλωτίζειν τὸν λαόν. Ὃ μὴ μέντοι συγχωροῦμεθα αὐτοῖς· (α) διὰ τὴν ἀμεταβλησίαν πρὸς ἄλληλα γραμμάτων τῶν ἐσχάτων ἑκατέρας λέξεως שִׁילֹה καὶ שְׁלַח. (β) κατάφασις Πατριάρχου ἣν μὲν ἐπαγγέλλεσθαι χάριν φυλῇ τοῦ Ἰούδα· Ναβουχοδονόσορ γὰρ τιμωρία ἦν. (γ) Θαλμοὺδ βιβλ. Σανεδρὶμ κεφ. α· διατείνει שֵׁבֶט καὶ מְחֹקֵק πέρα τῆς ἀφίξεως ἐξ αἰχμαλωσίας

τῆς Βαβυλονικῆς, περὶ τοὺς ἡγουμένους καὶ ἄρχοντας, ἐν Μισραΐμ. διὰ δὲ τοῦτο, οὐκ ἔδει ἐντεῦθεν ἐξηγεῖσθαι Ναβουχοδονόσορ. (δ) Τάργουμ Σχὶρ Ασκιρὶμ κεφ: ς. α. ὁμολογεῖ τοὺς Γραφέας περιλειπομένους καὶ ἐν αὐτῇ τῇ αἰχμαλωσίᾳ τῇ Βαβυλονικῇ ἀκμάσαι, διότι μὴ ἀναπαύσασθαι διὰ παρουσίας τοῦ Ναβουχοδονόσορος. (ε) Τῷ Ναβουχοδονόσορι οὐδαμῶς συμπίπτει, ὃ περὶ שילה προθεσπίζεται· καὶ αὐτὸς προσδοκία τῶν ἐθνῶν· ὅπερ ὡσαύτως ΑΓΓΑΙΟΣ κεφ. β. η. παρεξηγεῖται· καὶ ἥξει ἐκλεκτὰ πάντων τῶν ἐθνῶν.

## §. IIII.

Ἐὰν (Β) ἑρμηνεία ἡ πολυθρυλληθεῖσα δοκιμασθήσοιτο τοῖς Ἰουδαίοις οἷον ἔσοιτο, μάντευμα τοῦτο παραφέρειν εἰς τὸν Δαβίδ, αὐτοῦ τι περὶ παρουσίας αὐτοῦ μετερμηνεύεσθαι, ὥσπερ εἶποι Πατριάρχης· οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ Δαβίδ, βασιλεὺς ὁ πρῶτος ἐκ φυλῆς τοῦ Ἰούδα. ὅσον ἂν οὖν τοῦτο ἄτοπον ἀποπεφασμένως γνωρίζεται· (α) πῶς ὁ Δαβὶδ ἐκλείπει σκῆπτρον τοῦ Ἰούδα, μὴ ὄντος τοῦ ἐπ' αὐτοῦ ἐπὶ τῇ φυλῇ ἐκείνῃ; βασιλέων γὰρ πρῶτος ἐκ φυλῆς αὐτῆς ἦν ὁ Δαβίδ. ἄλογον οὖν ἐκεῖ ἀναίρησιν τοῦ σκήπτρου χρηματίζειν, ὅπου πρώτως αὐτὸ ἤρξατο ἀκμάζειν· ἀλλὰ δὲ καὶ, ὅτε Δαβὶδ εἰς ἀξίαν βασιλικὴν προήχθη, σκῆπτρον τοῦ Ἰούδα ἐπὶ μᾶλλον ἐβεβαιώθη, ἢ παντελῶς ἀφῃρέθη· (β) ψευδὲς δὲ ὅτι

τῇ

τὴν φυλὴν τοῦ Ἰούδα ἡγεμονεῦσαι ἐπὶ τοῦ Δαβίδ. ὕστερον γὰρ αὐτοῦ διεμερίσθη ἡ βασιλεία τῶν Ἰουδαίων εἰς βασιλείας ἰδίας δύο, τοῦ τε Ἰούδα καὶ τοῦ Ἰσραὴλ, α. βασ. ιβ. κομμ. ις. ἐνταῦθοῖ δὲ Ἰακὼβ περὶ τῆς βασιλείας τοῦ Ἰούδα λαλεῖ, ἐφ' ὅσον ἀφωρισμένη ἀπὸ τῶν φυλῶν τῶν περιλοιπῶν διαφρονεῖται, παρ' ὅσον γε αὐτὴ, ἐκκεκομμένης τῆς βασιλείας τοῦ Ἰσραὴλ, χρόνου παμπληθεῖ ὕστερον, ἄχρι ἐπιφανείας τοῦ שילה παραμένοι, οὕτως καὶ ἐκ συναφείας τῆς συμπλοκῆς ἔυγνωστον. (γ) Γνωρίζει καὶ Ἰακὼβ λογιωτάτῳ, ὁροθεσίας, βασιλείας τῆς Σιλονικῆς διακλείνουσαν, οὐ γὲ δὴ πρὸς μίαν γενεὰν, ἀλλὰ πρὸς ἁπάντας τῶν γενεῶν ἀδιορίστως· καθὼς Γεν. κεφ. κβ. κομμ. ιη. λέγεται. Πάντες αἱ γενεαὶ ἐν αὐτῷ εὐλογηθήσονται. ὃ μηδαμῶς βασιλῆι τῷ Δαβίδ, ἀλλὰ μόνον ἐπιστασίᾳ τοῦ Μεσσίου συνάπτεται. (δ) παράφρασις ἡ χαλδαϊκὴ μάλιστα ἐπιφανὴς διαβεβαιοῦται παρουσίαν τοῦ Μεσσίου ἐνθάδε ὑποτυποῦσαν, ὥσπερ ἐν ἑπομένοις δηλωθήσεσθαι.

§. Π.

Ἐὰν (Γ) ἑρμηνεία ἡ δημοσιευθεῖσα ὥσπερ γνήσιος ὑπολαβῇ, φανερὸς ἔσται καὶ ὁ χρόνος γεγενημένης τῆς μεταλλάξεως. ἀλλ' οὐ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, εἴτε ἀπ' ἀναστάσεως αὐτοῦ ἄχρι τῶν χρόνων τοῦ Ἱερονύμου, μηδέ γε μετὰ τὸν παρασκευασμένον Ταλμοὺδ, ἕως τοῦ νῦν, τοῦτο συμβέβηκε· ἀπό γε, τὸ πλεῖστον, θανάτου τοῦ

τοῦ Ἱερονύμου, μέχρι τοῦ χρόνου διαπεπαγμένου Ταλμοὺδ μηδεμίαν μετάλλαξιν γεγενῆσθαι δῆλον δοκεῖ. (α) ἐξ ἑρμηνείας τῶν ΔΔΔ ἑρμηνευτῶν πρώτως τι προχειρισθείσης, ὅπου μεθερμηνεύεται τὸ שִׁילֹה, τὰ ἀποκείμενα αὐτῷ· ἣν Εὐσέβιος, Ἀθανάσιος, Κύριλλος, Κυπριανὸς κτλ, ἑαυτοῖς ἔλαβον. Ἄλλην δὴ καὶ σαφηνείαν αὐτῆς τῆς λέξεως, ἄλλοι τῶν Ἑλλήνων ἐξηγηταὶ, Ἰγνάτιος, Ἰρεναῖος, Γεννάδιος, κτλ, παραπλησίως ὑποδέχονται, διὰ τὸν ἰδιωτισμὸν παρὰ πολὺ ἐβραΐζοντα, καὶ ἐπιμελεστέρως ἔμφασιν τῆς γνώμης δηλοῦντα, ταύτην δηλαδή· ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται, δήπου, βασιλεία. Τοῦτο ἀναμφισβητήτως ἀνελογίσθη καὶ ὁ ὌΓΚΕΛΟΣ παραφράζων· οὗ ἐστιν ἡ βασιλεία. Πάλιν γε διασαφηνίζεται ἑρμηνεία ἡ Ἑλληνικὴ ἀπὸ Σκαλιγέρου παραφραζόντος, ἐν ᾧ ἀπόκρυπτα συνεκαλύφθη· ἔφη γὰρ ὁ Ἰουστῖνος שִׁילֹה ἐπιλαμβάνεσθαι σημασίαν ἀγνώστων, ἀπολ. α. (β) περί τι τούτου, ὁμοδοξεῖ καὶ ὁ Ἰωναθὰν, ταύτην τὴν παράφρασιν κατὰ λείπων· ἕως ἂν ἔλθῃ Μεσσίας βασιλεύς. (γ) τούτῳ καὶ ὁ Ἱεροσολυμίτης συγκατατίθεται λέγων, ἕως ἔλθῃ βασιλεύς, οὗ ἐστιν ἡ βασιλεία· τούτους εἰς ἴχνος ἴασι Θαλμουδίμ. Τοιαύτην δὲ ἑρμηνείαν οὐκ ἐκφέρουσι γράμματα λέξεως שֶׁלָּה, ἀλλὰ שִׁילֹה ὥσπερ αὐτῶν ἑκάστους διαγνῶναι ἀναβλέπομεν. εἰκὴ διὰ μεταλλάξεως στιγμῶν, ἀντὶ αὐτοῦ δοκῶσι ἐνθυμηθῆναι שֶׁלּוֹ τοῦτ᾽ ἐστὶ אֲשֶׁר לוֹ, Κάπελλος κριτ. βίβλ. ε. κεφ, β. ξ οὐ שִׁילֹה ἀκανονίστως διεσχηματισμένον ᾠήθησαν.

§. III.

§. ΠΙ.

Μασωρῆται δὴ μετὰ ταῦτα, οἱ Ἱερωνύμου παλαιγενέστεροι πολὺ, μνείαν μὲν ποιοῦντες שִׁילֹה, ἀντί τε αὐτοῦ τῶν παραφραστῶν ἀναγνώσεως שׁיו περὶ δὲ שלה ψ ἐπέχοντες διαβεβαιῶσι ταύτην ἐπιψηφίζουσι σαφῶς, οἷς περὶ παντὸς πιστεύειν συγκατεχώριζον. Ἐκ τῶν οὖν παρηγμένων φανερὸν, κατὰ τὴν ψῆφον τούτων ἑρμηνέων πολὺ πρὸ τοῦ Ἱερωνύμου, τὸ γράμμα ה οὐ ח, λέξιν שִׁילֹה ἀποτερμαθῆναι, κατά τι συνακολουθέσιν ὕστερον Ἱερωνύμου, οὐδεμίαν μετάλλαξιν περιτεθεῖσθαι αὐτῇ.

§. ΠΙΙ.

Τῆς λέξεως ταύτης γνησίου ἀρετῆς ἀφίξεσθαι ἡμᾶς, δεῖ ἐφεξῆς ἐτυμολογίας τοῦ שׁ ἐν τοῖς προτέροις ὑπομνησθείσης ἀποσκευάζεσθαι· πολυειδῶς ἐπειδὴ ἀπαρέσκοι. τεθαρρακότως γὰρ ἄλις ἐν Μιδρ. ἐντίθεται שׁי δώρων, οὐδαμῇ χαρακτηρισμένον ἀντὶ שׁי· τοὔνομα τοῦτο παραδείγματος ἄπερ, συντεθὲν τῷ κομματίῳ ל, ὅπως εἰ μὴ δι' ἀπεικότων ἐλλείψεων δυνατὸν ἐμφανίζεσθαι, δηλαδὴ שִׁילֹה ἀντὶ שַׁי לֹה δῶρον αὐτῷ, τοῦτ' ἐστιν, ἕως ἔρχεται δῶρον αὐτῷ, σκήπτρῳ δήπου τοῦ Ἰούδα ἐπηγγελμένον,

§. ΠΙΙ.

Ἀποδοκιμασθέντων οὖν οὕτως ἐτυμολογιῶν τῶν ἀπεικῶν, ἐπ' ὀλίγον τῶν οἰκειοτέρων ἐξέτασιν ποιῶμεν. εἰς γὰρ ἤδη τὰ πρῶτα τῆς τοῦ שׁל, ἣν εἰκὸς ἀπὸ τούτου μὴ χωρίζειν συμβουλεύομαι ἀνα-

λογία

λογία τῆς ἐμφάσεως αὐτῆς, ἀληθογνωσία ἐς μέγα συνῳδῆς· ὑποσημαίνει γὰρ, ἐπιγονὴν, βρεφύλλιον καὶ κοίημα, καθάπερ ἐν τοῖς ἔμπροσθεν ἔλεγον· ὅ τε καὶ πανταχῆ τόπων ἐν παλαιᾷ τῇ Διαθήκῃ φανερὸν γίνεται· ὅπη ὁ ὑπέμβρυον καὶ τεκνίον ἐνθάδε καλέμενον ὀνομάζεται זֶרַע Γεν. γ. ιε. σπέρμα γυναικὸς. Γεν. κβ. ιη. σπέρμα Ἀβραάμ. יֶלֶד καὶ בֵּן, Ἡσα. θ. ς. παιδίον ἐγεννήθη ἡμῖν, ὑὸς καὶ ἐδόθη ἡμῖν, ὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τῦ ὤμυ αὐτῦ καὶ καλεῖται τὸ ὄνομα αὐτῦ μεγάλης βυλῆς, ἄγγελος, κτλ. Καλεῖταί τε חֹטֶר καὶ נֵצֶר Ἐσα. ια, α. καὶ ἐλεύσεται Ῥαβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται. צֶמַח Ζαχαρ. ς. ιβ. τάδε λέγει κύριος παντοκράτωρ, ἰδὲ ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ. Ἰερ. κγ, ε. ἰδὲ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνατολὴν δικαίαν καὶ βασιλεύσει βασιλεὺς καὶ συνήσει καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. κτλ.

§. IIIII.

Ἐν ταύταις λέξεσιν ἀναλόγως μὲν θεμιλῦται ἑρμηνεία τῦ שִׁיל, θεογνωσία λίαν εὐάρμοστος· μάλιστα δὲ διὰ τὸ δεῖγμα ἀνθρωπότητος τῦ χριςῦ, ἣν προσέλαβον ἐν κοιλίᾳ τῆς Μαρίας· ὅπυγε שִׁלְיָה περιεβλήθη, ὥσπερ ἄλλον ἀληθινὸν κοίημα τῆς θήλυος, διότε ἡμῖν ὅμοιος ἐγένετο.

εἰ δὲ

εἰ δὲ καὶ εὐσεβὲς οὐκ εἴη καλεῖσθαι αὐτὸν ἁμαρτωλὸν, ἀλλ' ἐπι-λεκτόν τινα καὶ κατ' ἐξοχὴν υἱὸν τοῦ Θεοῦ· ὅ τι καὶ ἐμφανίζεσθαι διαβεβαιοῦσι προσέχοντες τὸν νοῦν τῷ γράμματι ה προστε-θειμένῳ τῷ שִׁיל, ἀποδεικνύοντές γε ἅμα τὴν στιγμὴν χώλημ προσφυεῖσαν, ἣν ἐροῦσιν ὑποβλέπειν εἰς τὸν Ἰούδαν, οὗ ἂν ἐκ γε-νεᾶς ὁ Μεσσίας ἐπαγγέλλεται γεννηθησόμενος· τὸ δὲ γράμμα ה εἰς τὴν μητέρα Κυρίου Μαριάμ.

§. Δ.

Ταῦτά φημι ἀληθείας ἀλλότριον οὐκ ἔστι, διότι, καὶ τοῖς θεο-σεβῶς ἀρεσκομένοις αὐτοῖς τὴν ἑρμηνείαν ταύτην, ἐκβο-λῆς δίχα τῆς ὀρθοδοξίας, περιποιηθησομένην οὐδήτι δύσπειστος ἐγχειρίζω καὶ ἐπιτρέπω. μὴ δὲ δή ποτε τὸν νοῦν ἀντιῤῥήσεις πε-ρὶ τὴν λέξιν ταύτην συνειδόντα ἐνοχλῶ, εὐλαβοῦμαι ἑαυτῇ τῇ γνώμῃ ἀμφισβητησίμῳ, ὥσπερ τῇ ὁμολογουμένῃ ὑποψηφίζε-σθαι. (α) שילה γὰρ ἐν προφητείᾳ τοῦ Ἰακὼβ διαφανέος καὶ ἑνικοῦ ὀνόματός ἐστι παράσημον, ὅπως καὶ οἱ Ταλμουδ. ἑρ-μηνεύουσιν ἐν Σανεδρίμ, κ. ια. σελ. ϛη. διότι καὶ τὸ γράμμα ה ἑαυτῷ ἐξιδιάζεται, οὐ μέντοι παραλαμβάνεται οἷα τι τὸ προσ-τεθειμένον οὕτως γὰρ κοινὸν γενηθήσοιτο. (β) ἀδόκιμόν ἐστι καὶ τὸ ἔτυμον שׁיל, ἐν ἁγίαις ταῖς γραφαῖς οὐδαμὴ ἀναφαι-νόμενον, ἀλλ' ἔξωθεν ἐξεικονισθέν.

§. ΔΙ.

Ἀνθ' ὧν οὖν προτέρας ἄνευ δοκιμασίας κατὰ γνώμην φιλολόγων τῶν ἀξιόχρεων προϊστάμεθα ἀρχὴν λέξεως שִׁילֹה τὸ שָׁלָה, διὰ τὴν ἐνάργειαν ἐμφάσεως, ἣν οὗτος, περὶ τῶν ἀπολειφθέντων ἐτύμως ἐπιφαίνει χειροδεικτῶν τὴν χρηστότητα καὶ ὠφέλειαν τὴν ἐκ παρουσίας τοῦ שילה εἰς πάντας τῶν ἐθνῶν πλεονάσουσαν πολλαπλασίως, καὶ ἀπεικάζων εἰρήνης γαληνότητα, τῆς διὰ νίκην θριαμβεύσασαν κλειτήν τι Ἰησοῦ τοῦ λυτρωτοῦ ἡμῶν προσπεπορισμένην. Τί δέομαι μᾶλλον ὁμολογῆται, τί τε ἀναλογίας τῆς πίστεως ἄξιον ἐπὶ πλεῖστον; σωτὴρ γὰρ ἡμῶν, κατ' ἀλήθειαν εἰρηνοποιὸς ἀκούει, ᾧ πάντα καλῶς περιεχώρησαν κατὰ σωφροσύνης καὶ ἐξουσίας τοῦ κόσμου τούτου, ἀντί τε τῶν ἁμαρτιῶν, θανάτου καὶ Διαβόλου· ἀλλὰ γὰρ καὶ καθ' ἑκάστων πυλῶν τῶν νερτέρων, ἀφ' ὧν ἐθριάμβευσεν ἀναφανδὸν δι' αὐτὸν, ἡμῖν τε ὥσπερ ἀληθινὸς שַׂר שָׁלוֹם εἰρήνην καὶ ἀσφάλειαν τὴν αἰώνιον εὐσκεύασε.

§. ΔΙΙ.

Ταῦτ' ἄρα πρὸς ἔτι ἀπολέκτῳ τῷ δόγματι συντρέχειν ὑφηγεῖται ἀσφαλεία, γινομένου τοῦ שִׁילֹה, ἡ καθολική, πάσας ἀπεχθείας, παρὰ προσδοκίαν, ἀναπαύουσα· ἀπεξάπτοντα γὰρ πρὸ τῆς παρουσίας αὐτοῦ, πανταχοῦ γῆς, μόθων τε σβεννύντων καὶ δυσμενειῶν τῶν ἐχθρῶν θυέλλαις πολυμερῶς ἐδιωχλήθησαν, ὁπουπερὰν γε πολέμους ἐξήνεγκε πρὸς ἄλληλα παρορμηθέντα

ἔθνη,

ἔθνη. προσερχομένου δὲ שִׁילֹה ἡγουμένου πάντων τῶν ἐθνῶν, θόρυβοι οἱ πολεμικοὶ ἀνεπαύθησαν μετέπειτά τε εἰρηνευόμενοι καιροὶ ἐγίνοντο. ἐν τούτῳ μὲν δεινῶς, πρὸς γε σφαλερωτέραις ἥτταις ἀθλίως ἐκακώθη ἡ βασιλεία τοῦ Ἰούδα· οὐ μὲν πω ῥάβδος ἐξελείφθη κατὰ προφητείαν τοῦ Πατριάρχου, ὅστις θεοφερούμενος, ταύτην τὴν κατάστασιν ἀρχῆς τῆς Ἰουδαϊκῆς προεῖδον· ὅτου χάριν καὶ τοιοῦτο ὄνομα ἐτίθη στρατηγῷ τῷ παντοκράτορι, οἷόν τε χρόνον τὸν ἀφωρισμένον μηνύσει καὶ τὰ ἐνδεχόμενα ἐν αὐτῷ.

## §. ΔIII.

Ἐκλελεγμένοις τελευταῖόν με ἐμμένειν παρακαλεῖ ἀναλογία ἡ γραμματική, ἐκ προφανοῦς ἐνδεικνῦσα λέξιν ἀμφισβητήσεως τῆς ἐνεστώσης, εἰς ἔτυμον δοκιμασθέντα δεξιωτάτως ὑπαρχὴν ἀναφέρειν, κατὰ τὸ τοῦ σχήματος קִיטוֹר σὺν τῷ ἀνεργήτῳ ה, ὅτε ἐν ἁγίαις γραφαῖς οὐ λεκτέον ἀνηθὲς, ἐν καὶ δὴ τοῖς ὀνόμασι προσηγορικοῖς, ὀλιγάκις κἂν συμβῇ ἐξαιρέτου συνθήματος χάριν· ὅλου καὶ εὐλαβείας ἐπίσκεψις πάρεχει ἡμῖν λαβὴν ὡς σφόδρα ὁμολόγως, τοὔνομα שִׁילֹה ἐνδοτέρω στοχάζεσθαι· Ἴδιον ἢ πότερον, ἢ προσηγορικὸν;

## §. ΔIIII.

Πράγματος οὖν ἐπιχειρημένου περὶ ἢ ἀπολήγειν ἡμᾶς τῆς ἀνακρίσεως, διορίζώμεθα ὕστερον ὀπισθίως περὶ τούτου ἀξιομνημονεύτου. Ἐνταυθοῖ δεῖ (α) ἀναμνησθῆναι συγκαταθέσεως, τῆς ἐν τοῖς

πρό-

προτέρων εἰρημένοις συμβιβασθείσης πάνυ, Μεσσίαν δῆθεν καὶ Ἰησοῦν μηδένα γε ἄλλον διὰ τὸ θεόθεν ἀποκαλεῖσθαι שִׁילֹה. (β.) Ἀξιοπιστότατον τοὔνομα ψηφίζεσθαι προσηγορικὸν εἶναι αὐτῷ τε, κατ' οἰκεῖον τῆς φύσεως καὶ τῶν προσηκόντων κλῆρον, ἁρμοζόντως ὁμολογούμενον. εἰ ἂν ἢ αὐτὸ κατ' ἀκρίβειαν καὶ ἐπιθεσπισμὸν τὸν ὀνοματικὸν οὐκ ἀφείη ἴδιον νομίζεσθαι· διότι τε (γ.) οὐ μὴ ὑποληπτέον ἐπίθημα ה ὥσπερ ἀλλόκοτον. ἀγὲ δή, ἐξορισθήτω ἐπὶ πολὺ τοῦτο κατὰ κρίσιν τὴν γραμματικήν, οὐδεμία δὲ σταθμὴ τὸ πᾶν ἀδιαφόρῳ ἀκριβείας ὑποτέθη ὁρισμῷ, ἀλλὰ τῇ χρείᾳ τῆς πράξεως ὑπηρετικοῦ. Διόπερ ἀτοπίας ἔξω αὕτη καὶ ὑποθήκη πρὸς τὸ δοκοῦν ἁγίῳ τῷ Πνεύματι ἀπευθύνεται, καθὼς καὶ τῆς ἄλλοθι γραφῆς· λέγω δή, β. Σαμ. ιβ. κδ. שְׁלֹמֹה. τοῦτο μὲν ἐτύμως ἴδιον πρός γε τὰς παξιλογίας τὰς κανονικὰς συμβληθέν, ἐπίπροσθεν ἀλλοφανές ἐστι, τοῖον ἢ συνεχῶς ἐντεθῆναι, κατὰ τὴν τῆς ἀναλογίας ἐπιτροπὴν ἐμφατικοῖς παρελέγχει. Ἀποστασθήσεσθαί με τανῦν ἔοικε λέξεως περὶ ταύτης περαιτέρω διαλαβεῖν· γνωρισμάτων αὐτῆς εἴπερ ἔξεστι ἐπιλέγειν, τὰ κατηγορούμενα μονονουχὶ στοχάσθαι. Συγγνωμονεῖτε οὖν ἀναγνῶσαι ἀμυχροί, τά τε καθ' ὅσον παρηγμένα ἐπὶ τὸ εὐσεβέστερον ὑπολαμβάνοντες, ἐμοί, τῷ περὶ ἡμᾶς σπουδάζοντι κατὰ προθυμότερον, εὐνοϊκῶς ἔχετε.

א״ח א״ש

אכי״ר

ΓΕΏΡΓΙΟΣ ἈΙΝΈΛΙΟΣ,

δι' Ἀναγρ. Δίπτι.

ΓΑΊΩΝ ἘΡΓΟΙΣ ἭΛΙΟΣ

ἭΛΙΟΣ ἽΝ ἈΕῚ ΓΟΡΓΌΣ

διὰ μεταβολ. τοῦ ο. εἰς ω.

ἐξεργασία.

ἭΛΙΟΣ ὅς ΓΑΊΩΝ ἜΡΓΟΙΣ πάντων ἐστὶ μείζων
Ἐστὶ, καὶ ὡς Βασιλεὺς, λοιπὰ μὲν ἄστρα ἄγει.
Ἐκ θαλάμου νύμφος καθ' ἑκάστην ἔσχατα γαίας
Σκέπτεται, αὐγάζει, ἣ σκότος ἔνθεν ἐλεῖ.
Ἐστὶ μέγιστος νῦν שִׁילֹה κτίστης ὁ δίκαιος
ἭΛΙΟΣ εἰρήνης καὶ τε δικαιοσύνης·
Ἀΐδιόν τε σχῆμα πατρὸς μαιμᾶ οὗ Ἰακώβ.
Ὃν καὶ νῦν σὺ γράφεις φίλτατε ἈΙΝΕΛΙΕ
φίλτατε ἈΙΝΈΛΙΕ, φράζω· ὅτι ΓΌΡΓΟΣ ἈΕῚ σὺ
Ὡς ἄδδην φανερῶς γράμματα ταῦτα λαλεῖ
Καὶ οἴομαι ἽΝΑ ὡς μέσος ἥλιος ἔν τε πλανήταις
Λαμπρίσης βραχέως ἔν τε χόρῳ Σοφίας.

Ἀσμένως ἐσχεδίαζον

ΧΡΙΣΤΌΦΟΡΟΣ ἌΛΑΝΟΣ.

Ὅση ὄντως ἑλληνικῆς τῆς γλώσσης ἡ ὠφέλεια, ὅση τε ἐξοχὴ παντελῶς ἀδύνατος τοῦ παραφράζειν ὑπάρχω. Διὰ τοῦτο μηδεὶς πρωτεύει ῥωμαικῆς τῆς γλώττης, εἰ μὴ ὁμοῦ, τῇ ἑλληνικῇ ἐπιμελῶς σπουδάζῃ· ὅθεν, τοῦτο τὸ πολυθρύλλητον· Ὅστις οὐχ ἑλληνικὰ διδάγματα, ὁμοῦ συζεύγνυσι τοῖς ῥωμαικοῖς, ἐκεῖνος ἄρα γε, τοῦ πεπαιδευμένου ὀνόματος πάντως ἀνάξιος· Τὸ καὶ ἀφορῶ ὃν τρόπον, ὁ Θεολόγος τολμᾷ, ἐκ τοῦ μουσείου αὐτοῦ, ταύτην τὴν διάλεκτον, ἐκβάλλειν, ἐπειδὴ, αὐτὴ ἡ νέα διαθήκη, αὐθεντικῶς καὶ ἑλληνιστὶ ἀναγεγραμμένη ὑπάρχῃ. Καθὼς ὁ ἄνθρωπος ἑτέρας τῆς χειρὸς ἑαυτοῦ οὐ μὴ δύναται ἀποστερεῖσθαι, ὡσαύτως, αὐτοὶ οἱ Φιλόσοφοι, ποιηταὶ, Ῥήτορες, ἱστορικοί τε, τὰ καθήκοντα αὐτῶν, μηδαμῶς οἴδασιν ἀποτελεῖν, εἰ ταύτης τῆς γλώττης ὑστερῶνται. πανταχοῦ οὖν σου τοῦ ἐπιμέλεια ἐστὶν ἀξία μεγάλου ἐπαίνου, ὁ λαμπρότατος κυρ, ἀποκριθεὶς, ὅστις ἀνδρικῶς, αὐτῷ τῷ ἔργῳ, ἑλληνίζεις, ὥσπερ παροῦσα ἡ διατριβὴ ἡ πεπαιδευμένη φανερῶς φανεροῖ, περὶ שׁילה ἥνπερ συγγέγραφας κομψῇ τῇ μεθόδῳ, ἐφ' ἥντινα, νῦν τὴν τοῦ Ἰσοκράτους διαφανῆ λέξιν, νῦν τοῦ Πλάτωνος ἐξοχὴν, ἄρτι τοῦ Δημοσθένους αὐγὴν, ἄρτι τοῦ Ἡροδότου ἐκλογὴν, ἐνίοτε τοῦ τὸ ἔκδηλον Ξενοφῶντος, ἐνίοτε τοῦ Θουκυδίδου βραχύτητα, νῦν τοῦ Ἀριστοτέλους σεμνότητα, νῦν τοῦ Ὁμήρου πολυμιξίαν, νῦν τῶν Ἡσιόδου, νῦν Σοφοκλοῦς, ἑταίρων τε ἀγχίνοιαν, ἀγχινόως μεμίμησαι! ἔρρωσο.

Ε. ΙΝΔΡΗΚΙΟΣ.